πιστεύομεν εἶναι μετάνοιαν· καὶ διὰ τοῦτο
λοιπὸν, αὐθαιρέτως ἀπογνόμενοι, τὴν ἀ-
νομίαν ἐργάζονται· τὰ δὲ ῥήματα ὁ ἀπόστολος Παῦ-
λος, ὑστερόπρωτα εἴρηκε· καὶ τοῦτο οἰ-
κονομικῶς ποιῶν ὡς οἶμαι· ὅπως τοῖς
μὲν εὐλαβεστέροις διὰ τὸ τῶν γραφῶν
ἐκ ζητήσεως, σαφέστερον ᾖ τὸ νόημα· τοῖς
δὲ ἀμελεστέροις καὶ καταφρονηταῖς, δυσεύ-
ρετον· ἵνα μὴ πρόφασιν μελλούσης μετανοί-
δ ας ἔχωσιν ἐξαμαρτάνωσιν· ἐκ προδήλου οὖν· οἱ
μὲν πρόφασιν μετανοίας τὴν πρόθεσιν
ἔχουσι τοῖς κακοῖς· οἱ δὲ διὰ τὸ μὴ πιστεύειν
εἶναι μετάνοιαν ἀπηλπικότες ἑαυτοὺς
παρέδωκαν τῷ διαβόλῳ· ἀμφότεροι
δὲ τὸ πάθος πονηρὸν καὶ δυσίατον, δι-
α τοῦτο τῇ ἀληθείᾳ πᾶσιν ἁρμόδιον προσ-
φορὰ βοήθημα λέγουσα· μετανοεῖτε
ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· ὅπως
μήτε οἱ πονηροὶ καὶ οἱ ἐν προκοπῇ τυγ-
χάνοντες ἀμελήσωσι τοῦ προστάγματος
τούτου.